τας παραγενέσθαι, ξυνέλεξαν τὴν βουλήν[203]. Ἐπεὶ δὲ Θηραμένης παρῆν, ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε.

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλέονας τοῦ καιροῦ[204] ἀποθνήσκειν, ἐννοησάτω, ὅτι, ὅπου πολιτεῖαι μεθίστανται[205], πανταχοῦ ταῦτα γίγνεται· πλείστους δ᾽ ἀνάγκη πολεμίους εἶναι τοῖς ἐς ὀλιγαρχίαν μεθιστᾶσι, διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλληνίδων τὴν πόλιν[206] εἶναι, καὶ διὰ τὸ πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ τὸν δῆμον τετράφθαι. Ἡμεῖς δὲ, γνόντες μὲν, τοῖς οἵοις[207] ἡμῖν τε καὶ ὑμῖν χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δὲ, ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς[208] ὁ μὲν δῆμος οὔποτ᾽ ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολιτείαν καθίσαμεν. Καὶ ἐάν τινα αἰσθανώμεθα ἐναντίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα, ἐκποδὼν ποιούμεθα[209]· πολὺ δὲ μάλιστα ἡμῖν δοκεῖ δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν[210] λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτὸν διδόναι[211]. Νῦν οὖν αἰσθανόμεθα Θηραμένην τουτονὶ, οἷς δύναται[212], ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δὲ ταῦτα ἀληθῆ[213], ἢν κατανοῆτε[214], εὑρήσετε οὔτε ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουῒ τὰ παρόντα[215], οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. Εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι[216] πονηρός γ᾽ ἂν δικαίως ἐνομίζετο, νῦν δὲ, αὐτὸς μὲν ἄρξας τῆς πρὸς Λακεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ἡμᾶς τοῖς πρώτοις ὑπαγομένοις[217] ἐς ἡμᾶς δίκην ἐπιτιθέναι, νῦν, ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκέτ᾽ αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ[218] καταστῇ, ἡμεῖς δὲ δίκην δῶμεν[211] τῶν πεπραγμένων. Ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει, ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν, διδόναι τὴν δίκην. Καί τοι τοσούτῳ μὲν δεινότερον[219] προδοσία πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι[220] τὸ ἀφανὲς τοῦ φανεροῦ· τοσούτῳ δ᾽ ἔχθιον, ὅσῳ πολέμιοι μὲν ἄνθρωποι καὶ σπένδονται αὖθις, καὶ πιστοὶ γίγνονται· ὃν δ᾽ ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο πώποτε οὐδεὶς, οὔτ᾽ ἂν σπείσαιτο τοῦ λοιποῦ. Ἵνα δὲ εἰδῆτε ὅτι οὐ κοινὰ ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει προδότης ἐςὶν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ[221] πεπραγμένα. Οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος ὑπὸ τοῦ δήμου, κατὰ τὸν πατέρα Ἅγνωνα[222], προπετέστατος ἐγένετο τὴν δημοκρατίαν

---

203) Ἡ βουλὴ συνέκειτο ἀπὸ 500, ἐκλεγομένους ἐτησίως ἀνὰ 50 ἀπὸ ἑκάστην τῶν 10 φυλῶν, εἰς ἃς διῃρεῖτο ὁ λαὸς τῆς Ἀττικῆς. 204) Ἀφ᾽ ὅ,τι ὁ καιρὸς ἀπαιτεῖ. 205) Μεταβάλλουσι μορφήν. 206) Τῶν Ἀθηνῶν, ἐπομένως ἐχθρὰ εἰς τὴν διοίκησιν τῶν ὀλίγων.

207) Τοῖς ὁμοίοις, ἐξ ἴσου. 208) Οἱ ὀλιγάρχαι ὠφεληθέντες ἀπὸ τὴν νίκην τῶν Λακεδαιμονίων, ὠνόμαζον τοὺς καταστροφεῖς τῆς πατρίδος των σωτῆρας. 209) Τὸν ἐβγάζομεν ἀπὸ τὴν μέσην. 210) Τῶν ὀλιγαρχικῶν δηλ. ἢ τῶν τριάκοντα. 211) Νὰ τιμωρηθῇ.

212) Τρόποις. 213) Ἵνα δὲ ἐννοήσητε ὡς. 214) Ἂν παρατηρήσητε. Λ. Σ. 1).

215) Τὴν παροῦσαν κατάστασιν τῶν πραγμάτων. 216) Ἀλλ᾽ ὅμως οὐ. 217) Ἐγκαλουμένου; πρὸς ἡμᾶς. Λ. Σ. 3). 218) Εἰς ἀσφάλειαν. Τὸ οὐδέτ. ἀντὶ τοῦ ἀφηρημ. 219) Πρᾶγμα εἶναι. 220) Νὰ φυλάττηταί τις ἀπὸ τὸ ἀφανὲς παρὰ ἀπὸ τὸ φανερόν. Τὸ φυλάττομαι ἐδῶ μέσον, ὄχι ὡς παρ᾽ ἡμῖν παθητικόν. 221) Κ. §. 365. 222) Ἐξ αἰτίας τοῦ πατρός του. Ἦτον δὲ ὁ Ἅγνων στρατηγὸς ἐπίσημος ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου.